# 3

# *ΤΕΤΡΑΛΟΓΙΑ Β*

## *α*

## *ΚΑΤΗΓΟΡΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ*

### *ΥΠΟΘΕΣΙΣ*

*Δύο παῖδες ἐν γυμνασίοις ἠκόντιζον, συνέβη δὲ τὸν μὲν ἐντέχνως ἀφεῖναι τὸ βέλος, τὸν δ' ἕτερον ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου δραμόντα πληγῆναι. τελευτήσαντος δὲ τοῦ παιδὸς ὁ τούτου πατὴρ κατηγορεῖ τοῦ βαλόντος ὡς ἀνδροφόνου· ὁ δὲ μετατίθησι τὴν αἰτίαν τῆς πληγῆς ἐπὶ τὸν δραμόντα. ὅθεν οἱ μὲν ἀντέγκλημα τὴν στάσιν, οἱ δὲ μετάστασιν λέγουσιν.*

*Τὰ μὲν ὁμολογούμενα τῶν πραγμάτων ὑπό τε τοῦ νόμου* 1
*κατακέκριται ὑπό τε τῶν ψηφισαμένων, οἳ κύριοι πάσης*
*τῆς πολιτείας εἰσίν· ἐὰν δέ τι ἀμφισβητήσιμον ᾖ, τοῦτο*
*ὑμῖν, ὦ ἄνδρες πολῖται, προστέτακται διαγνῶναι. οἶμαι*
*μὲν οὖν οὐδὲ ἀμφισβητήσειν πρὸς ἐμὲ τὸν διωκόμενον·*
*ὁ γὰρ παῖς μου ἐν γυμνασίῳ ἀκοντισθεὶς διὰ τῶν*
*πλευρῶν ὑπὸ τούτου τοῦ μειρακίου παραχρῆμα*
*ἀπέθανεν. ἑκόντα μὲν οὖν οὐκ ἐπικαλῶ ἀποκτεῖναι,*
*ἄκοντα δέ. ἐμοὶ δὲ οὐκ ἐλάσσω τοῦ ἑκόντος ἄκων* 2
*τὴν συμφορὰν κατέστησε. τῷ δὲ ἀποθανόντι αὐτῷ μὲν*
*οὐδὲν ἐνθύμιον, τοῖς δὲ ζῶσι προσέθηκεν. ὑμᾶς δὲ ἀξιῶ*

Arg. Inscriptio *ὑπόθεσις τῆς ἑξῆς τετραλογίας* AN    1 *γυμνασίοις*] *γυμνασίῳ* ci. Maetzner    6 *ἀντέγκλημα* $A^1$N : *ἀντέκλημα* A    7 Inscriptio *κατηγορία φόνου ἀκουσίου* AN    11 *οὖν* $A^1$N : omiserat ut vid. $A^a$    *οὐδὲ* A : oblitteratum in N    15 *ἐλάσσω* $A^1$N : *ἐλάσσων* $A^a$    16–17 *τῷ δὲ … προσέθηκεν* del. Gernet

ἐλεοῦντας μὲν τὴν ἀπαιδίαν τῶν γονέων, οἰκτίροντας δὲ τὴν ἄωρον τοῦ ἀποθανόντος τελευτήν, εἴργοντας ὧν ὁ νόμος εἴργει τὸν ἀποκτείναντα μὴ περιορᾶν ἅπασαν τὴν πόλιν ὑπὸ τούτου μιαινομένην.

18 οἰκτίροντας Blass²: οἰκτείροντας AN  19 εἴργοντας $A^1$ ut vid., N: εἴργοντας $A^a$  20 εἴργει $A^1$ : εἴργειν N : εἴργει $A^a$  Subscriptio κατηγορία φόνου ἀκουσίου N



## β

## ΑΠΟΛΟΓΙΑ ΦΟΝΟΥ ΑΚΟΥΣΙΟΥ

### ΥΠΟΘΕΣΙΣ

Ὁ τοῦ ἀκοντίσαντος πατὴρ ἑαυτῷ φησιν αἴτιον γενέσθαι τὸν ἀποθανόντα τοῦ φόνου· φερομένου γὰρ τοῦ ἀκοντίου ὑποδραμεῖν ὑπὸ τὸν σκοπόν, ὅθεν ἂν αὐτὸν ἑαυτοῦ φονέα νομίζεσθαι. ἔστιν οὖν ἡ στάσις μετάστασις, οὐ συγγνώμη ὥς τινες ἐνόμιζον.

Νῦν δὴ φανερόν μοι ὅτι αὐταὶ αἱ συμφοραὶ καὶ χρεῖαι 1
τούς τε ἀπράγμονας εἰς ἀγῶνας τούς τε ἡσυχίους τολμᾶν
τά τε ἄλλα παρὰ φύσιν λέγειν καὶ δρᾶν βιάζονται. ἐγὼ
γὰρ ἥκιστα τοιοῦτος ὢν καὶ βουλόμενος εἶναι, εἰ μὴ
πολύ γε ἔψευσμαι, ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠναγκάσθην
νῦν παρὰ τὸν ἄλλον τρόπον ὑπὲρ πραγμάτων
ἀπολογεῖσθαι, ὧν ἐγὼ χαλεπῶς μὲν τὴν ἀκρίβειαν
ἔγνων, ἔτι δὲ ἀπορωτέρως διάκειμαι ὡς χρὴ ὑμῖν
ἑρμηνεῦσαι ταῦτα. ὑπὸ δὲ σκληρᾶς ἀνάγκης βιαζόμενος, 2
καὶ αὐτὸς εἰς τὸν ὑμέτερον ἔλεον, ὦ ἄνδρες δικασταί,
καταπεφευγὼς δέομαι ὑμῶν, ἐὰν ἀκριβέστερον ἢ ὡς
σύνηθες ὑμῖν δόξω εἰπεῖν, μὴ διὰ τὰς προειρημένας
τύχας ἀποδεξαμένους μου τὴν ἀπολογίαν δόξῃ καὶ μὴ
ἀληθείᾳ τὴν κρίσιν ποιήσασθαι· ἡ μὲν γὰρ δόξα τῶν

Arg. Inscriptio ὑπόθεσις τοῦ ἑξῆς AN  3 ὑποδραμεῖν Jernstedt¹ : ὑπέδραμεν AN  ὅθεν <δικαίως> Maetzner  4 οὖν N : om. A  ἡ $A^1$N : ὁ $A^a$  6 Inscriptio ἀπολογία φόνου ἀκουσίου AN  μοι $A^1$N : om. $A^a$  7 ἀγῶνας <καταστῆναι> Reiske  8 ἄλλα <καὶ> Sauppe, Scheibe  10 αὐτῆς τῆς $A^1$, $N^1$ (τῆς τ in ras.) : τῆς om. $A^a$  11 νῦν Jernstedt : ἂν re vera $A^a$, N : ras. $A^c$  πραγμάτων $A^c$N : τῶν πραγμάτων $A^a$  13 ἀπορωτέρως A, $N^1$ (alt. ω in ras.)  ὡς AN : ὅπως Blass  15 καὶ $A^1$ : κἂν $A^a$N  17 ὑμῖν $A^1$N : om. $A^a$  18 <δυσχερῶς> ἀποδεξαμένους Gebauer³

πραχθέντων πρὸς τῶν λέγειν δυναμένων ἐστίν, ἡ δὲ
ἀλήθεια πρὸς τῶν δίκαια καὶ ὅσια πρασσόντων.
3 Ἐδόκουν μὲν οὖν ἔγωγε ταῦτα παιδεύων τὸν υἱὸν ἐξ
ὧν μάλιστα τὸ κοινὸν ὠφελεῖται, ἀμφοῖν τι ἡμῖν ἀγαθὸν
ἀποβήσεσθαι· συμβέβηκε δέ μοι πολὺ παρὰ γνώμην
τούτων. τὸ γὰρ μειράκιον οὐχ ὕβρει οὐδὲ ἀκολασίᾳ,
ἀλλὰ μελετῶν μετὰ τῶν ἡλίκων ἀκοντίζειν ἐν τῷ
γυμνασίῳ, ἔβαλε μέν, οὐκ ἀπέκτεινε δὲ οὐδένα κατά γε
τὴν ἀλήθειαν ὧν ἔπραξεν, ἄλλου δ' εἰς αὐτὸν ἁμαρτόντος
4 εἰς ἀκουσίους αἰτίας ἦλθεν. εἰ μὲν γὰρ τὸ ἀκόντιον ἔξω
τῶν ὅρων τῆς αὐτοῦ πορείας ἐπὶ τὸν παῖδα ἐξενεχθὲν
ἔτρωσεν αὐτόν, οὐδεὶς ἡμῖν λόγος ὑπελείπετο μὴ
φονεῦσιν εἶναι· τοῦ δὲ παιδὸς ὑπὸ τὴν τοῦ ἀκοντίου
φορὰν ὑποδραμόντος καὶ τὸ σῶμα προστήσαντος, ⟨ὁ
μὲν ἐκωλύθη⟩ τοῦ σκοποῦ τυχεῖν, ὁ δὲ ὑπὸ τὸ ἀκόντιον
ὑπελθὼν ἐβλήθη, καὶ τὴν αἰτίαν οὐχ ἡμετέραν οὖσαν
5 προσέβαλεν ἡμῖν. διὰ δὲ τὴν ὑποδρομὴν βληθέντος
τοῦ παιδός, τὸ μὲν μειράκιον οὐ δικαίως ἐπικαλεῖται,
οὐδένα γὰρ ἔβαλε τῶν ἀπὸ τοῦ σκοποῦ ἀφεστώτων· ὁ
δὲ παῖς εἴπερ ἑστὼς φανερὸς ὑμῖν ἐστι μὴ βληθείς,
ἑκουσίως ⟨δ'⟩ ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθών,
ἔτι σαφεστέρως δηλοῦται διὰ τὴν αὑτοῦ ἁμαρτίαν
ἀποθανών· οὐ γὰρ ἂν ἐβλήθη ἀτρεμίζων καὶ μὴ
6 διατρέχων. ἀκουσίου δὲ τοῦ φόνου ἐξ ἀμφοῖν ὑμῖν
ὁμολογουμένου γενέσθαι, ἐκ τῆς ἁμαρτίας, ὁποτέρου
αὐτῶι ἐστίν, ἔτι δὲ σαφέστερον ⟨ἂν⟩ ὁ φονεὺς ἐλεγχθείη.

22 μὲν οὖν A[1] : μὲν A[a] : γοῦν N 24 ἀποβήσεσθαι A[1]N : ἀποβήσεται A[a] 26 ἐν M: ἐπὶ AN 27 οὐκ ἀπέκτεινε δὲ οὐδένα A[1]N : οὐκ ἀπέκτεινα δὲ A[a] : οὐδένα οὐδ' ἀπέκτεινε Blass[2] 28 ἄλλου δ' εἰς αὐτὸν A[1] ut vid. : ἀλλ' οὐδ' εἰς αὐτὸν A[a]N 30 αὑτοῦ Steph. : αὐτοῦ AN 31 οὐδεὶς <ἂν> Dobree 32 φονεῦσιν Bekker : φονεὺς AN 33–4 add. Reiske 38 τῶν A[1]N : τὸν A[a] 39 φανερὸς A[1] : φανερῶς A[a]N 40 add. Blass 41 αὑτοῦ Steph. : αὐτοῦ AN 45 δὲ AN : γε Sauppe : del. Dobree add. Dobree





οἵ τε γὰρ ἁμαρτάνοντες ὧν ἂν ἐπινοήσωσί τι δρᾶσαι,
οὗτοι πράκτορες τῶν ἀκουσίων εἰσίν· οἵ τε ἀκούσιόν
τι δρῶντες ἢ πάσχοντες, οὗτοι τῶν παθημάτων αἴτιοι
γίγνονται. τὸ μὲν τοίνυν μειράκιον περὶ οὐδένα οὐδὲν 7
ἥμαρτεν. οὔτε γὰρ ἀπειρημένον ἀλλὰ προστεταγμένον
ἐξεμελέτα, οὔτε ἐν γυμναζομένοις ἀλλ' ἐν τῇ τῶν
ἀκοντιζόντων τάξει ἠκόντιζεν, οὔτε τοῦ σκοποῦ
ἁμαρτών, εἰς τοὺς ἀφεστῶτας ἀκοντίσας, τοῦ παιδὸς
ἔτυχεν, ἀλλὰ πάντα ὀρθῶς ὡς ἐπενόει δρῶν ἔδρασε μὲν
οὐδὲν ἀκούσιον, ἔπαθε δὲ διακωλυθεὶς τοῦ σκοποῦ
τυχεῖν. ὁ δὲ παῖς βουλόμενος προδραμεῖν, τοῦ καιροῦ 8
διαμαρτὼν ἐν ᾧ διατρέχων οὐκ ἂν ἐπλήγη, περιέπεσεν
οἷς οὐκ ἤθελεν, ἀκουσίως δὲ ἁμαρτὼν εἰς ἑαυτὸν
οἰκείαις συμφοραῖς κέχρηται, τῆς δ' ἁμαρτίας
τετιμωρημένος ἑαυτὸν ἔχει τὴν δίκην, οὐ συνηδομένων
μὲν οὐδὲ συνεθελόντων ἡμῶν, συναλγούντων δὲ καὶ
συλλυπουμένων. τῆς δὲ ἁμαρτίας εἰς τοῦτον ἡκούσης,
τὸ ἔργον οὐχ ἡμέτερον ἀλλὰ τοῦ ἐξαμαρτόντος ἐστί, τό
τε πάθος εἰς τὸν δράσαντα ἐλθὸν ἡμᾶς μὲν ἀπολύει τῆς
αἰτίας, τὸν δὲ δράσαντα δικαίως ἅμα τῇ ἁμαρτίᾳ
τετιμώρηται. ἀπολύει δὲ καὶ ὁ νόμος ἡμᾶς, ᾧ πιστεύων, 9
εἴργοντι μήτε ἀδίκως μήτε δικαίως ἀποκτείνειν, ὡς
φονέα με διώκει. ὑπὸ μὲν γὰρ τῆς αὐτοῦ τοῦ τεθνεῶτος
ἁμαρτίας ὅδε ἀπολύεται μηδὲ ἀκουσίως ἀποκτεῖναι
αὐτόν· ὑπὸ δὲ τοῦ διώκοντος οὐδ' ἐπικαλούμενος ὡς

46 ὧν AN : ὡς Wilamowitz[1] 47 οἵ τε Spengel[2] : οἱ δὲ AN ἀκούσιόν Pahle : ἑκούσιόν AN 48 ἢ πάσχοντες del. Spengel[2] : καὶ πάσχοντες Cole apud Gagarinum 49–50 οὐδὲν ἥμαρτεν N : ἥμαρτεν οὐδὲν A 51 ἐξεμελέτα A : ἐμελέτα N 53 ἁμαρτὼν A[a]N : ἁμαρτὸν A[c] ἀφεστῶτας A[2]N : ἐφεστῶτας A 54 πάντα A[1]N : πάντας A[a] 56 καιροῦ Spengel[2] : χώρου AN : χρόνου Reiske 61 συνεθελόντων A[1]N : συνεθελότων A[a] 62 τοῦτον Reiske : τοῦτο AN 63 pr. τὸ AN : τό <τ'> Spengel[2] 67 εἴργοντι A[1]N : εἵργοντι A[a] 68 φονέα με AN : φονέας Lipsius[1] : an φονέας ἡμᾶς? Blass[2] τῆς αὐτοῦ in ras A[1] 70 οὐδ' ἐπικαλούμενος ὡς A[1]N : ὡς ἐπικαλούμενος A[a]

ἑκὼν ἀπέκτεινεν, ἀμφοῖν ἀπολύεται τοῖν ἐγκλημάτοιν,
10 ⟨μήτ' ἄκων⟩ μήθ' ἑκὼν ἀποκτεῖναι. ἀπολυόμενος δὲ ὑπό τε τῆς ἀληθείας τῶν πραχθέντων ὑπό τε τοῦ νόμου καθ' ὃν διώκεται, οὐδὲ τῶν ἐπιτηδευμάτων ἕνεκα δίκαιοι τοιούτων κακῶν ἀξιοῦσθαί ἐσμεν. οὗτός τε γὰρ ἀνόσια πείσεται τὰς οὐ προσηκούσας φέρων ἁμαρτίας, ἐγώ τε μᾶλλον μὲν οὐδέν, ὁμοίως δὲ τούτῳ ἀναμάρτητος ὤν, εἰς πολλαπλασίους τούτου συμφορὰς ἥξω· ἐπί τε γὰρ τῇ τούτου διαφθορᾷ ἀβίωτον τὸ λειπόμενον τοῦ βίου διάξω, ἐπί τε τῇ ἐμαυτοῦ ἀπαιδίᾳ ζῶν ἔτι κατορυχθήσομαι.

11 Ἐλεοῦντες οὖν τοῦδε μὲν τοῦ νηπίου τὴν ἀναμάρτητον συμφοράν, ἐμοῦ δὲ τοῦ γηραιοῦ καὶ ἀθλίου τὴν ἀπροσδόκητον κακοπάθειαν, μὴ καταψηφισάμενοι δυσμόρους ἡμᾶς καταστήσητε, ἀλλ' ἀπολύοντες εὐσεβεῖτε. ὅ τε γὰρ ἀποθανὼν συμφοραῖς περιπεσὼν οὐκ ἀτιμώρητός ἐστιν, ἡμεῖς τε οὐ δίκαιοι τὰς τούτων
12 ἁμαρτίας συμφέρειν ἐσμέν. τήν τε οὖν εὐσέβειαν τούτων τῶν πραχθέντων καὶ τὸ δίκαιον αἰδούμενοι ὁσίως καὶ δικαίως ἀπολύετε ἡμᾶς, καὶ μὴ ἀθλιωτάτω δύο πατέρα καὶ παῖδα ἀώροις συμφοραῖς περιβάλητε.

11 *γηραιοῦ* stp Pollux 2.13 (item 4.α.2)

---

72 add. Ald. *μήθ'* A : *μήτε* N  73 *τῶν πραχθέντων ὑπό τε τοῦ νόμου* $A^{1}$N : *τοῦ νόμου ὑπό τε τῶν πραχθέντων* $A^{a}$  74 *ἕνεκα* Ald. : *εἵνεκα* AN  80 *διάξω* $A^{c}$N : *διδάξω* $A^{a}$  80–1 *ἔτι κατορυχθήσομαι* Reiske : *ἐπικατορυχθήσομαι* AN  82 *οὖν* A : *μὲν οὖν* N  *τοῦδε* A$N^{2}$ : *οὐδὲ* N  86 *ἀποθανὼν*] *ἁμαρτὼν* Sched. Eton.  90 *ἡμᾶς* N : *ὑμᾶς* A  *δύο* $A^{a}$N : *δύω* $A^{1}$  91 *περιβάλητε* N : *περιβάλοιτε* A subscriptio *ἀπολογία φόνου ἀκουσίου* N



## γ

## ΕΚ ΚΑΤΗΓΟΡΙΑΣ Ο ΥΣΤΕΡΟΣ

Ὅτι μὲν αὐτὴ ἡ χρεία παρὰ φύσιν καὶ λέγειν καὶ δρᾶν 1
ἅπαντας ἀναγκάζει, ἔργῳ καὶ οὐ λόγῳ δοκεῖ μοι σημαίνειν οὗτος· ἥκιστα γὰρ ἔν γε τῷ ἔμπροσθεν χρόνῳ ἀναιδὴς καὶ τολμηρὸς ὤν, νῦν ὑπ' αὐτῆς τῆς συμφορᾶς ἠνάγκασται λέγειν οἷα οὐκ ἄν ποτε ᾤμην ἐγὼ τοῦτον εἰπεῖν. ἐγώ τε γὰρ πολλῇ ἀνοίᾳ χρώμενος οὐκ ἂν 2
ὑπέλαβον τοῦτον ἀντειπεῖν· οὐδὲ γὰρ ἂν ἕνα λόγον ἀντὶ δυοῖν λέξας τὸ ἥμισυ τῆς κατηγορίας ἐμαυτὸν ἂν ἀπεστέρησα· οὗτός τε μὴ τολμῶν οὐκ ἂν προεῖχε τῷ διπλασίῳ μου, ἕνα μὲν πρὸς ἕνα λόγον ἀπολογηθείς, ἃ δὲ κατηγόρησεν ἀναποκρίτως εἰπών. τοσοῦτον δὲ 3
προέχων ἐν τοῖς λόγοις ἡμῶν, ἔτι δὲ ἐν οἷς ἔπρασσε πολλαπλάσια τούτων, οὗτος μὲν οὐκ ὁσίως δεῖται ὑμῶν συχνῶς τὴν ἀπολογίαν ἀποδέχεσθαι αὐτοῦ· ἐγὼ δὲ δράσας μὲν οὐδὲν κακόν, παθὼν δὲ ἄθλια καὶ δεινά, καὶ νῦν ἔτι δεινότερα τούτων ἔργῳ καὶ οὐ λόγῳ, εἰς τὸν ὑμέτερον ἔλεον καταπεφευγὼς δέομαι ὑμῶν, ὦ ἄνδρες ἀνοσίων ἔργων τιμωροί, ὁσίων δὲ διαγνώμονες, μὴ ἔργα φανερὰ ὑπὸ πονηρᾶς λόγων ἀκριβείας πεισθέντας, ψευδῆ τὴν ἀλήθειαν τῶν πραχθέντων ἡγήσασθαι· ἡ 4
μὲν γὰρ πιστότερον ἢ ἀληθέστερον σύγκειται, ἡ δ' ἀδολώτερον καὶ ἀδυνατώτερον λεχθήσεται. τῷ μὲν

Inscriptio *ὁ ὕστερος ἐκ κατηγορίας* AN  3 *γε* $A^{c}$N : *τε* $A^{a}$  7–8 *ἀντὶ δυοῖν λέξας* Reiske : *ἀντιδοὺς ἢ λέξας* AN : *ἀντιδοὺς {ἢ λέξας}* Maetzner  11 *ἀναποκρίτως* $A^{1}$N : *ἀποκρίτως* $A^{a}$  14–15 *δὲ δράσας* Reiske : *δ' ἔδρασα* AN  19 *ἔργα φανερὰ* AN : secl. Franke : <*παρὰ τὰ*> *ἔργα φανερὰ* Gernet : <*πρὸς*> *ἔργα φανερὰ* Schoell[1] : *ἔργα φανερὰ* <*παραλαβόντας*> Thalheim  *πεισθέντας* AN : *πεισθέντες* $A^{2}$ : *πεισθέντας* <*ἀφανίσαι*> dubitanter Sauppe  20 *ἡγήσασθαι* N : *ἡγήσασθε* $A^{a}$ : *ἡγήσησθε* $A^{1}$

οὖν δικαίῳ πιστεύων ὑπερορῶ τῆς ἀπολογίας· τῇ δὲ
σκληρότητι τοῦ δαίμονος ἀπιστῶν ὀρρωδῶ, μὴ οὐ μόνον
τῆς χρείας τοῦ παιδὸς ἀποστερηθῶ, ἀλλὰ καὶ αὐθέντην
5 προσκαταγνωσθέντα ὑφ' ὑμῶν ἐπίδω αὐτόν. εἰς τοῦτο
γὰρ τόλμης καὶ ἀναιδείας ἥκει, ὥστε τὸν μὲν βαλόντα
καὶ ἀποκτείναντα οὔτε τρῶσαι οὔτε ἀποκτεῖναί φησι,
τὸν δὲ οὔτε ψαύσαντα τοῦ ἀκοντίου οὔτε ἐπινοήσαντα
ἀκοντίσαι, ἁπάσης μὲν γῆς ἁμαρτόντα, πάντων δὲ
σωμάτων, διὰ τῶν ἑαυτοῦ πλευρῶν διαπῆξαι τὸ ἀκόντιον
λέγει. ἐγὼ δὲ ἑκουσίως κατηγορῶν ἀποκτεῖναι αὐτὸν
πιστότερος ἄν μοι δοκῶ εἶναι ἢ οὗτος, ⟨ὃς⟩ μήτε βαλεῖν
6 μήτε ἀποκτεῖναί φησι τὸ μειράκιον. ὁ μὲν γὰρ ἐν τούτῳ
τῷ καιρῷ καλούμενος ὑπὸ τοῦ παιδοτρίβου, ὃς ὑπεδέχετο
τοῖς ἀκοντίζουσι τὰ ἀκόντια ἀναιρεῖσθαι, διὰ τὴν
τοῦ βαλόντος ἀκολασίαν πολεμίῳ τῷ τούτου βέλει
περιπεσών, οὐδὲν οὐδ' εἰς ἕν' ἁμαρτών, ἀθλίως ἀπέθανεν·
ὁ δὲ περὶ τὸν τῆς ἀναιρέσεως καιρὸν πλημμελήσας, οὐ
τοῦ σκοποῦ τυχεῖν ἐκωλύθη, ἀλλ' ἄθλιον καὶ πικρὸν
σκοπὸν ἐμοὶ ἀκοντίσας, ἑκὼν μὲν οὐκ ἀπέκτεινε, μᾶλλον
δὲ ἑκὼν ἢ οὔτε ἔβαλεν οὔτε ἀπέκτεινεν.
7 Ἀκουσίως δὲ οὐχ ἧσσον ἢ ἑκουσίως ἀποκτείναντός
μου τὸν παῖδα, τὸ παράπαν δὲ ἀρνουμένου μὴ ἀποκτεῖναι

27 ἥκει $A^{1}$N : ἥκω $A^{a}$ 28 ἀποκτείναντα A : ἀκοντίσαντα N 29 ψαύσαντα $A^{1}$N : ψαύσατα $A^{a}$ 31–2 τὸ ἀκόντιον λέγει N : λέγει τὸ ἀκόντιον A 33 add. Ald. 34 φησι A : φασι N : φάσκων (ὃς omisso) Weidner 35 καλούμενος AN : κελευόμενος Maidment ὃς ὑπεδέχετο AN : ᾧ ὑπεδέχετο Thalheim : ὡς ὑπεδέχοιτο Blass$^{2}$ 36 ἀναιρεῖσθαι del. Franke 38 ἕν' Franke : ἓν AN ἀπέθανεν A : ἀπέθανε N 40 ἐκωλύθη $A^{2}$N : ἐκωλήθη ut vid. $A^{1}$ : ἐβουλήθη ut vid. $A^{a}$ 41 ἑκὼν A : ἐκὼν N 42 ἢ eras. in A 43 ἀκουσίως … ἑκουσίως $A^{2}$ : ἑκουσίως … ἀκουσίως AN ἧσον A, corr. $A^{2}$ ἀποκτείναντός AN : ἀπέκτεινέ $A^{2}$ 44 post παῖδα lacunam susp. Sykutris δὲ del. Jernstedt ἀρνουμένου AN : ἀρνούμενος $A^{2}$





αὐτόν, οὐδ' ὑπὸ τοῦ νόμου καταλαμβάνεσθαί φησιν,
ὃς ἀπαγορεύει μήτε δικαίως μήτε ἀδίκως ἀποκτείνειν.
ἀλλὰ τίς ὁ βαλών; εἰς τίν' ὁ φόνος ἀνήκει; εἰς τοὺς
θεωμένους ἢ εἰς τοὺς παιδαγωγούς, ὧν οὐδεὶς οὐδὲν
κατηγορεῖ; οὐ γὰρ ἀφανὴς ἀλλὰ καὶ λίαν φανερὸς ἔμοιγε
αὐτοῦ ὁ θάνατός ἐστιν. ἐγὼ δὲ τὸν νόμον ὀρθῶς
ἀγορεύειν φημὶ τοὺς ἀποκτείναντας κολάζεσθαι· ὅ τε
γὰρ ἄκων ἀποκτείνας ἀκουσίοις κακοῖς περιπεσεῖν
δίκαιός ἐστιν, ὅ τε διαφθαρεὶς οὐδὲν ἧσσον ἀκουσίως ἢ
ἑκουσίως βλαφθεὶς ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος.
οὐ δίκαιος δὲ ἀποφυγεῖν ἐστι διὰ τὴν ἀτυχίαν τῆς 8
ἁμαρτίας. εἰ μὲν γὰρ ὑπὸ μηδεμιᾶς ἐπιμελείας τοῦ θεοῦ
ἡ ἀτυχία γίγνεται, ἁμάρτημα οὖσα τῷ ἁμαρτόντι
συμφορὰ δικαία γενέσθαι ἐστίν· εἰ δὲ δὴ θεία κηλὶς τῷ
δράσαντι προσπίπτει ἀσεβοῦντι, οὐ δίκαιον τὰς θείας
προσβολὰς διακωλύειν γίγνεσθαι. ἔλεξαν δὲ καὶ ὡς οὐ 9
πρέπει χρηστὰ ἐπιτηδεύοντας αὐτοὺς κακῶν ἀξιοῦσθαι·
ἡμεῖς δὲ πῶς ἂν πρέποντα πάσχοιμεν, εἰ μηδὲν
ὑποδεέστερα τούτων μελετῶντες θανάτῳ ζημιούμεθα;
φάσκων δὲ ἀναμάρτητος εἶναι, καὶ ἀξιῶν τὰς συμφορὰς
τῶν ἁμαρτόντων εἶναι καὶ μὴ εἰς τοὺς ἀναμαρτήτους
ἐκτρέπεσθαι, ὑπὲρ ἡμῶν λέγει. ὅ τε γὰρ παῖς μου εἰς
οὐδένα οὐδὲν ἁμαρτών, ὑπὸ τούτου τοῦ μειρακίου
ἀποθανών, ἀδικοῖτ' ἂν ἀτιμώρητος γενόμενος· ἐγώ τε
τοῦδε μᾶλλον ἀναμάρτητος ὢν δεινὰ πείσομαι, ἃ ὁ

47 ὁ βαλών; ἐς τίν' ὁ φόνος ἀνήκει; Bekker (t. 5, p. 695) : ὁ βάλλων (βαλὼν $A^{2}$) ἐστὶν· ὁ φόνος ὃν ἀνήκει, A : ὁ βάλλων ἐστιν· ὁ φόνος, ὃν ἀνήκει N : ὁ βαλών; εἰς τίν' ὁ φόνος ἂν ἀνήκοι; Decleva Caizzi 49 γὰρ $A^{1}$N : ** $A^{a}$ (δὲ fuit?) 53 διαφθαρεὶς $A^{2}$ : δὲ φθαρεὶς AN 53–4 ἀκουσίως ἢ ἑκουσίως $A^{2}$ : ἑκουσίως ἢ ἀκουσίως AN 55 ἐστι N : ἐστιν A 56 ὑπὸ <μηδενὸς δαίμονος> Thalheim μηδεμιᾶς $A^{2}$ : μὴ δὲ δϊ post quae vac. spat. 5–6 litt. N : μηδὲ **** A 58 εἰ δὲ δὴ θεία Blass$^{2}$ : εἰ δὲ θεία $A^{2}$ : ἡ δὲ ἀλήθεια AN 60 οὐ $A^{1sv}$ : om. $A^{a}$N

10 νόμος ἀποδίδωσί μοι μὴ τυχὼν παρ' ὑμῶν. ὡς δὲ οὐδὲ τῆς ἁμαρτίας οὐδὲ τοῦ ἀκουσίως ἀποκτεῖναι, ἐξ ὧν αὐτοὶ λέγουσιν, ἀπολύεται, ἀλλὰ κοινὰ ἀμφότερα ταῦτα ἀμφοῖν αὐτοῖν ἐστι, δηλώσω. εἴπερ ὁ παῖς διὰ τὸ ὑπὸ τὴν φορὰν τοῦ ἀκοντίου ὑπελθεῖν καὶ μὴ ἀτρέμας ἑστάναι φονεὺς αὐτὸς αὑτοῦ δίκαιος εἶναί ἐστιν, οὐδὲ τὸ μειράκιον καθαρὸν τῆς αἰτίας ἐστίν, ἀλλ' εἴπερ τούτου μὴ ἀκοντίζοντος ἀλλ' ἀτρέμα ἑστῶτος ἀπέθανεν ὁ παῖς. ἐξ ἀμφοῖν δὲ τοῦ φόνου γενομένου, ὁ μὲν παῖς εἰς αὑτὸν ἁμαρτὼν μᾶλλον ἢ κατὰ τὴν ἁμαρτίαν ἑαυτὸν τετιμώρηται, τέθνηκε γάρ, ὁ δὲ συλλήπτωρ καὶ κοινωνὸς εἰς τοὺς οὐ προσήκοντας τῆς ἁμαρτίας γενόμενος πῶς δίκαιος ἀζήμιος ἀποφυγεῖν ἐστιν;

11 Ἐκ δὲ τῆς αὐτῶν τῶν ἀπολογουμένων ἀπολογίας μετόχου τοῦ μειρακίου τοῦ φόνου ὄντος, οὐκ ἂν δικαίως οὐδὲ ὁσίως ἀπολύοιτε αὐτόν. οὔτε γὰρ ἡμεῖς, οἱ διὰ τὴν τούτων ἁμαρτίαν διαφθαρέντες, αὐθένται καταγνωσθέντες ὅσια ἀλλ' ἀνόσι' ἂν πάθοιμεν ὑφ' ὑμῶν· οὔθ' οἱ θανατώσαντες ἡμᾶς μὴ εἰργόμενοι τῶν προσηκόντων εὐσεβοῖντ' ἂν ὑπὸ τῶν ἀπολυσάντων τοὺς ἀνοσίους. πάσης δ' ὑπὲρ πάντων τῆς κηλῖδος εἰς ὑμᾶς ἀναφερομένης, πολλὴ εὐλάβεια ὑμῖν τούτων ποιητέα ἐστί· καταλαβόντες μὲν γὰρ αὐτὸν καὶ εἴρξαντες ὧν ὁ νόμος εἴργει καθαροὶ τῶν ἐγκλημάτων ἔσεσθε,

70 ἀποδίδωσί N : δίδωσι A : δίδωσί A$^2$ μοι A$^1$N : om. A$^a$ 71 οὐδὲ τοῦ Sauppe : τοῦδε τοῦ AN : τοῦδε τῷ A$^2$ 73 εἴπερ] εἰ γὰρ Ald. 74 ὑπελθεῖν N : ἐλθεῖν A 75 αὑτοῦ AN$^c$ : αὐτοῦ N$^a$ 79 αὑτὸν A$^1$N$^c$ : αὐτὸν A$^a$N$^a$ ἑαυτὸν A : αὑτὸν N 82 πῶς A$^1$N : πῶν A$^a$ 84 τοῦ φόνου ὄντος N : ὄντος τοῦ φόνου A 85 ἀπολύοιτε A$^1$N : ἀπολύεται A$^a$ 88 εἰργόμενοι A$^2$N : εἱργόμενοι A 89 προσηκόντων A$^2$N : **προσηκο**των A (quid fuerit non liquet) 91 ὑμᾶς A$^2$N : ἡμᾶς A εὐλάβεια ὑμῖν A$^2$ : εὐσέβεια ὑμῖν N : εὐσέβεια ἡμῖν A 92 εἴρξαντες A$^2$N : εἵρξαντες A 93 εἴργει A$^2$N : εἵργει A





ἀπολύσαντες δὲ ὑπαίτιοι καθίστασθε. τῆς οὖν ὑμετέρας 12 εὐσεβείας ἕνεκα καὶ τῶν νόμων ἀπάγοντες τιμωρεῖσθε αὐτόν. αὐτοί τε μὴ μεταλάβητε τῆς τούτου μιαρίας, ἡμῖν τε τοῖς γονεῦσιν, οἳ ζῶντες κατορωρύγμεθα ὑπ' αὐτοῦ, δόξῃ γοῦν ἐλαφροτέραν τὴν συμφορὰν καταστήσατε.

εὖ σέβοιντ' ἄν ("θα ήταν σωστό να τύχουν σεβασμού")

94 ὑμετέρας A$^2$N : ἡμετέρας A 95 τιμωρεῖσθε A$^2$N : τιμωρεῖσθαι A 96 <καὶ> αὐτοὶ Blass 97 κατορωρύγμεθα Ald. : κατωρύγμεθα AN subscriptio ὁ ὕστερος ἐκ κατηγορίας N

ὑμᾶς δὲ χρή (sc. μαθεῖν) γιγνώσκοντας ..



δ

*ΕΞ ΑΠΟΛΟΓΙΑΣ Ο ΥΣΤΕΡΟΣ*

1 Τοῦτον μὲν εἰκὸς πρὸς τὴν ἑαυτοῦ κατηγορίαν
προσέχοντα τὸν νοῦν μὴ μαθεῖν τὴν ἀπολογίαν μου,
ὑμᾶς δὲ χρὴ γιγνώσκειν ὅτι ἡμεῖς μὲν οἱ ἀντίδικοι
κατ' εὔνοιαν κρίνοντες τὸ πρᾶγμα εἰκότως δίκαια
ἑκάτεροι αὑτοὺς οἰόμεθα λέγειν, ὑμᾶς δὲ ὁσίως ὁρᾶν
2 προσήκει τὰ πραχθέντα· ἐκ τῶν λεγομένων γὰρ ἡ
ἀλήθεια σκεπτέα αὐτῶν ἐστίν. ἐγὼ δέ, εἰ μέν τι ψεῦδος
εἴρηκα, ὁμολογῶ καὶ τὰ ὀρθῶς εἰρημένα προσδιαβάλλειν
ἄδικα εἶναι· εἰ δὲ ἀληθῆ μέν, λεπτὰ δὲ καὶ ἀκριβῆ, οὐκ
ἐγὼ ὁ λέγων ἀλλ' ὁ πράξας τὴν ἀπέχθειαν αὐτῶν δίκαιος
φέρεσθαί ἐστι.

3 Θέλω δὲ πρῶτον ὑμᾶς μαθεῖν, ὅτι οὐκ ἐάν τις φάσκῃ
ἀποκτεῖναι, τοῦτ' ἔστιν, ἀλλ ἐάν τις ἐλεγχθῇ. οὗτος δὲ
ὁμολογῶν τὸ ἔργον ὡς ἡμεῖς λέγομεν γενέσθαι, ὑπὲρ
τοῦ ἀποκτείναντος ἀμφισβητεῖ, ὃν ἀδύνατον ἀλλαχόθεν
4 ἢ ἐκ τῶν πραχθέντων δηλοῦσθαι. σχετλιάζει δὲ κακῶς
ἀκούειν φάσκων τὸν παῖδα, εἰ μήτε ἀκοντίσας μήτε
ἐπινοήσας αὐθέντης ὧν ἀποδείκνυται, καὶ οὐ πρὸς τὰ
λεγόμενα ἀπολογεῖται. οὐ γὰρ ἀκοντίσαι οὐδὲ βαλεῖν
αὐτόν φημι τὸν παῖδα, ἀλλ' ὑπὸ τὴν πληγὴν τοῦ ἀκοντίου
ὑπελθόντα οὐχ ὑπὸ τοῦ μειρακίου ἀλλ' ὑφ' ἑαυτοῦ
διαφθαρῆναι· οὐ γὰρ ἀτρεμίζων ἀπέθανε. τῆς δὲ
διαδρομῆς αἰτίας ταύτης γενομένης, εἰ μὲν ὑπὸ τοῦ
παιδοτρίβου καλούμενος διέτρεχεν, ὁ παιδοτρίβης ἂν
ἀποκτείνας αὐτὸν εἴη, εἰ δ' ὑφ' ἑαυτοῦ πεισθεὶς ὑπῆλθεν,
αὐτὸς ὑφ' ἑαυτοῦ διέφθαρται. θέλω δὲ μὴ πρότερον ἐπ' 5
ἄλλον λόγον ὁρμῆσαι, ἢ τὸ ἔργον ἔτι φανερώτερον
καταστῆσαι, ὁποτέρου αὐτῶν ἐστί. τὸ μὲν μειράκιον
οὐδενὸς μᾶλλον τῶν συμμελετώντων ἐστὶ τοῦ σκοποῦ
ἁμαρτόν, οὐδὲ τῶν ἐπικαλουμένων τι διὰ τὴν αὐτοῦ
ἁμαρτίαν δέδρακεν· ὁ δὲ παῖς οὐ ταὐτὰ τοῖς συνθεωμένοις δρῶν, ἀλλ' εἰς τὴν ὁδὸν τοῦ ἀκοντίου ὑπελθών,
σαφῶς δηλοῦται παρὰ τὴν αὑτοῦ ἁμαρτίαν περισσοτέροις ἀτυχήμασι τῶν ἀτρεμιζόντων περιπεσών. ὁ μὲν
γὰρ ἀφεὶς οὐδὲν ἂν ἥμαρτε, μηδενὸς ὑπὸ τὸ βέλος
ὑπελθόντος· αὐτὸς δ' οὐκ ἂν ἐβλήθη μετὰ τῶν θεωμένων
ἑστώς. ὡς δ' οὐδενὸς μᾶλλον τῶν συνακοντιζόντων 6
μέτοχός ἐστι τοῦ φόνου, διδάξω. εἰ γὰρ διὰ τὸ τοῦτον
ἀκοντίζειν ὁ παῖς ἀπέθανε, πάντες ἂν οἱ συμμελετῶντες
συμπράκτορες εἴησαν τῆς αἰτίας· οὗτοι γὰρ οὐ διὰ τὸ μὴ
ἀκοντίζειν οὐκ ἔβαλον αὐτόν, ἀλλὰ διὰ τὸ μηδενὶ ὑπὸ τὸ
ἀκόντιον ὑπελθεῖν· ὁ δὲ νεανίσκος οὐδὲν περισσὸν
τούτων ἁμαρτών, ὁμοίως τούτοις οὐκ ἂν ἔβαλεν αὐτὸν
ἀτρέμα σὺν τοῖς θεωμένοις ἑστῶτα. ἔστι δὲ οὐδὲ τὸ 7
ἁμάρτημα τοῦ παιδὸς μόνον, ἀλλὰ καὶ ἡ ἀφυλαξία. ὁ
μὲν γὰρ οὐδένα ὁρῶν διατρέχοντα, πῶς ἂν ἐφυλάξατο
μηδένα βαλεῖν; ὁ δ' ἰδὼν τοὺς ἀκοντίζοντας, εὐπετῶς ἂν

Inscriptio *ἐξ ἀπολογίας ὁ ὕστερος* AN 2 *ἀπολογίαν* $A^1$N : *ἀπογίαν* $A^a$ 3 *χρὴ γινώσκειν*, $A^2$ : *χρὴ γινωσκοντας* AN : post *χρὴ* lacunam posuit Thalheim 4 *κρίνοντες* $A^1$N : *κρίνοντας* $A^a$ 5 *αὑτοὺς* $A^2$ : *αὐτοὺς* AN 9 *ἄδικα εἶναι* del. Hüttner 10 *ἀπέχθειαν* A : *ἐπάχθειαν* N 11 *ἐστι* $A^2N^c$ : *ἐστιν* $AN^a$ 12 *πρῶτον ὑμᾶς* N : *ὑμᾶς πρῶτον* A 14 *ὑπὲρ*] *περὶ* Blass 17–18 *μήτε ἐπινοήσας* N : *μήτ' ἐπινοήσας* $A^1$ : *μηθ' ὑπονοήσας* $A^a$ 18 *ἀποδείκνυται* N : *ἀποδέδεικται* A 20 *αὑτὸν* $A^2$ : *αὐτὸν* AN 21 *ὑπελθόντα* $A^1$ e ras., N

22 <*ἂν*> *ἀτρεμίζων* Franke 23 *γενομένης* Blass : *γινομένης* AN 24 *καλούμενος* $A^2$ : *καλούμενον* AN 25 *ἀποκτείνας* AN : *ἁποκτείνας* Ignatius 30 *τί* re vera $A^c$N : *τίς* $A^a$ *αὑτοῦ* $M^1$ : *αὐτοῦ* AN 32 *ὑπελθών* $A^2N^2$ : *ἐπελθών* A : *ὑπελθόν* N 33 *αὑτοῦ* $N^2$M : *αὐτοῦ* $AN^a$ 34 *ἀτυχήμασι* $A^2$ : *ἁμαρτήμασι* AN : *παθήμασι* Jernstedt *περιπεσὼν* $AN^2$ : *περιπεσὸν* N 35 *ἥμαρτε* N : *ἥμαρτεν* A 40 *εἴησαν* AN : *εἶεν* Thalheim *τῆς αἰτίας*] *καὶ συναίτιοι* Gernet, qui *εἶεν* probavit 41 *μηδενὶ* Reiske : *μηδένα* AN 44 *ἔστι* $A^1$N : *ἔτι* $A^a$

ἐφυλάξατο μὴ βληθῆναι· ἐξῆν γὰρ αὐτῷ ἀτρέμα
8 ἑστάναι. τὸν δὲ νόμον ὃν παραφέρουσιν, ἐπαινεῖν δεῖ.
ὀρθῶς γὰρ καὶ δικαίως τοὺς ἀκουσίως ἀποκτείναντας
ἀκουσίοις παθήμασι κολάζει. τὸ μὲν οὖν μειράκιον
ἀναμάρτητον ὄν, οὐκ ἂν δικαίως ὑπὲρ τοῦ ἁμαρτόντος
κολάζοιτο· ἱκανὸν γάρ αὐτῷ ἐστι τὰς αὑτοῦ ἁμαρτίας
φέρειν· ὁ δὲ παῖς ταῖς αὑτοῦ ἁμαρτίαις διαφθαρείς, ἅμα
ἥμαρτέ τε καὶ ὑφ' ἑαυτοῦ ἐκολάσθη. κεκολασμένου δὲ
τοῦ ἀποκτείναντος, οὐκ ἀτιμώρητος ὁ φόνος ἐστίν.
9 ἔχοντός γε δὴ τὴν δίκην τοῦ φονέως, οὐκ ἐὰν ἀπολύσητε
ἡμᾶς, ἀλλ' ἐὰν καταλάβητε, ἐνθύμιον ὑπολείψεσθε. ὁ
μὲν γὰρ αὐτὸς τὰς αὑτοῦ ἁμαρτίας φέρων, οὐδενὶ οὐδὲν
προστρόπαιον καταλείψει· ὁ δὲ καθαρὸς τῆς αἰτίας
ὢν ἐὰν διαφθαρῇ, τοῖς καταλαμβάνουσι μεῖζον τὸ
ἐνθύμιον γενήσεται. εἰ δὲ αὐθέντης ἐκ τῶν λεγομένων
ἐπιδείκνυται, οὐχ ἡμεῖς αὐτῷ οἱ λέγοντες αἴτιοί ἐσμεν,
10 ἀλλ' ἡ πρᾶξις τῶν ἔργων. ὀρθῶς δὲ τῶν ἐλέγχων
ἐλεγχόντων τὸν παῖδα αὐθέντην ὄντα, ὁ νόμος ἀπολύων
ἡμᾶς τῆς αἰτίας τὸν ἀποκτείναντα καταλαμβάνει. μήτε
οὖν ἡμᾶς εἰς μὴ προσηκούσας συμφορὰς ἐμβάλητε,
μήτε αὐτοὶ ταῖς τούτων ἀτυχίαις βοηθοῦντες ἐναντία
τοῦ δαίμονος γνῶτε, ἀλλ' ὥσπερ ὅσιον καὶ δίκαιον,
μεμνημένοι τοῦ πάθους ὅτι διὰ τὸν ὑπὸ τὴν φορὰν τοῦ
ἀκοντίου ὑπελθόντα ἐγένετο, ἀπολύετε ἡμᾶς· οὐ γὰρ
αἴτιοι τοῦ φόνου ἐσμέν.

48 μὴ βληθῆναι Kayser[1] : μηδένα μὴ βαλεῖν AN : μὴ διαδραμεῖν Wilamowitz[1] : alii alia 53 αὑτοῦ M : αὐτοῦ AN 54 αὑτοῦ Steph. : αὐτοῦ AN 56 ἐστίν A : ἐστί N 57 δὴ N : om. A ἐὰν] ἐὰν οὖν A[2] 58 καταλάβητε N : καταλάβοιτε A ὑπολείψεσθε AN : ὑπολήψεσθε Decleva Caizzi 59 γὰρ A : om. N αὑτοῦ A : ἑαυτοῦ N 61 ὢν Scheibe : ὃς δὲ A[a]N : ὃς A[2], ut mihi vid. διαφθαρῇ A[2] : φθαρῇ AN 71 ἐγένετο, A[2] : ἐγένετο ἀπολέσθαι AN subscriptio ὁ ὕστερος ἐξ ἀπολογίας N